## XIX

— τίς πόθεν ὁ πλάστης; — Σικυώνιος. — οὔνομα δὴ τίς;
  — Λύσιππος. — σὺ δὲ τίς; — Καιρὸς ὁ πανδαμάτωρ.
— τίπτε δ' ἐπ' ἄκρα βέβηκας; — ἀεὶ τροχάω. — τί δὲ ταρσούς
  ποσσὶν ἔχεις διφυεῖς; — ἵπταμ' ὑπηνέμιος.
— χειρὶ δὲ δεξιτερῇ τί φέρεις ξυρόν; — ἀνδράσι δεῖγμα
  ὡς ἀκμῆς πάσης ὀξύτερος τελέθω.
ἡ δὲ κόμη τί κατ' ὄψιν; — ὑπαντιάσαντι λαβέσθαι
  νὴ Δία. — τἀξόπιθεν δ' εἰς τί φαλακρὰ πέλει;
— τὸν γὰρ ἅπαξ πτηνοῖσι παραθρέξαντά με ποσσίν
  οὔτις ἔθ' ἱμείρων δράξεται ἐξόπιθεν.
— τοὔνεχ' ὁ τεχνίτης σε διέπλασεν; — εἵνεκεν ὑμέων,
  ξεῖνε, καὶ ἐν προθύροις θῆκε διδασκαλίην.

## XX

οὐ ποταμὸς κελάδων ἐπὶ χείλεσιν ἀλλὰ δράκοντος
  εἶχέ ποτ' εὐπώγων τόνδε λίθον κεφαλή
λευκὰ φαληριόωντα· τὸ δὲ γλυφὲν ἅρμα κατ' αὐτοῦ
  τοῦθ' ὑπὸ Λυγκείου βλέμματος ἐγλύφετο·
ψεύδεϊ χειρὸς ὅμοιον· ἀποπλασθὲν δ' ἄρ' ὁρᾶται
  γλύμμα, κατὰ πλατέος δ' οὐκ ἂν ἴδοις προβόλου.
ἦ καὶ θαῦμα πέλει μόχθου μέγα, πῶς ὁ λιθουργός
  τὰς ἀτενιζούσας οὐκ ἐμόγησε κόρας.

## XXI

τὸν τριετῆ παίζοντα περὶ φρέαρ Ἀρχιάνακτα
  εἴδωλον μορφᾶς κωφὸν ἐπεσπάσατο,